UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Philippi Cyprii, Protonotarii Constantinopolitani, Chronicon Ecclesiae Graecae

Philippus <Cyprius>

Franeqverae, 1679

Oi meza ...

urn:nbn:de:hbz:466:1-10949

Visual Library

ΡΚΑ ΝΙΦΩΝ μοναχὸς ἔτη Δ, καὶ ἐξεβλήθη.

ΡΚΒ ΗΣΑΙΑΣ ὁ ἁγιορήτης. οὗτινος πατριαρχεύοντος ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Ἰωάννου τῶν Παλαιολόγων ἐσχάτων, ἔγινε ἡ ἅλωσις τῆς Κωνσταντινουπόλεως ἀπὸ τοῦ Σουλτὰν Μεχεμέτη, καὶ κατέκοψεν πάντας τοὺς χριστιανοὺς καὶ τὸν βασιλέα καὶ τὸν πατριάρχην, καὶ ἔμεινεν ἡ ἐκκλησία χηρεύουσα, ἕως οὗ νῶσει θεία προεβίβασε ὁ ῥηθεὶς Σουλτάνος παρακλήσει τῶν αὐτοῦ ὑπηκόων χριστιανῶν νόμιμον πατριάρχην.

## Οἱ μετὰ τὴν ἅλωσιν τῆς Κωνσταντινουπόλεως πατριαρχεύσαντες.

Α ΠΡῶτος θεόθεν ἐκλήθη ὁ σοφώτατος ΓΕΩΡΓΙΟΣ ὁ Σχολάριος, εἰς ὃν ὁ Σουλτὰν Μεχεμὲτ τὴν πατριαρχικὴν πατερίτζαν ἤτοι τὸ δεκανίκιον, καὶ τὸ καταπάσιον ἰδίᾳ χειρὶ δέδωκε, καὶ πᾶν ἕτι ἄλλο χάρισμα οἱ τῶν Ῥωμαίων βασιλεῖς τοῖς πατριάρχαις ἐδωρήσοντο, ταῦτα κἀκεῖνος τούτῳ ἀσμένως ἀπέδωκε· κυβερνήσας δὲ τὴν ἐκκλησίαν τοῦ Χριστοῦ ἔτη Ε μῆνας ς. καὶ ὕστερον παραιτήσατο.

Β ΗΣΙΔΩΡΟΣ Παννονικὸς, ἀνὴρ ἁγιώτατος, *** καὶ ἐκοιμήθη.

Γ ΙΩΑΣΑΦ Κώκκας, ὃν ἐκεῖνος ὁ Σουλτάνος, διὰ τὸ μὴ συγχωρῆσαι τῷ πρωτοβεστιαρίῳ τὸν παράνομον γάμον, ἀπέκοψε τήν τε ῥῖνα καὶ τὸν πώγωνα.

Δ ΜΑΡΚΟΣ ὁ Ξυλοκαράβης, σοφώτατος, καὶ ἐξεβλήθη παρὰ τοῦ κλήρου.

Ε ΣΥΜΕΩΝ ὁ Τραπεζούντιος, ὃς διὰ κακὴν τῆς σιμονίας ἀρ-

ἀρχὴν εἰργάσατο, καὶ δῶρα τῷ βασιλεῖ δέδωκε τοῦ πατριαρχεῦσαι, ἔχθρα φερόμενος πρὸς τὸν Ξυλοκαράβην. καὶ ἕνεκα τῶν τούτου σκανδάλων ἐξωρίσθη ἀπὸ τῆς μητρυιᾶς τοῦ Σουλτάνου.

ς ΔΙΟΝΥΣΙΟΣ Φιλιππουπόλεως, προστεθεὶς ἕτερα χίλια φλωρία τοῦ δώρου τοῦ Ξυλοκαράβη, καὶ ποιήσας τούτους δύο χιλιάδας, ἐπατριάρχευσε ἔτη Η, καὶ παρετήσατο.

Z ΜΑΡΚΟΣ ὁ Εὐγενικὸς, ὅς τις συκοφαντηθεὶς, πῶς ἦν περιτμημένος, καὶ γυμνώσας ἑαυτὸν ἐπὶ συνόδου, καὶ ἀποδείξας τὴν περὶ τούτου ὀφθαλμοφανεστάτην ἀλήθειαν, καὶ ἀφορίσας τοὺς συκοφάντας, παρετήθη τοῦ ἀξιώματος, καὶ πάλιν ΣΥΜΕΩΝ ἀνεκλήθη, καὶ πατριαρχεύσας ἔτη Γ ἐξεβλήθη τελείως.

Η ΡΑΦΑΗΛ Σέρβος, καὶ ἀλλόγλωσσος, μέθυσος ὑπὲρ μέτρον, ὅς τις τέσσαρας χιλιάδας χρυσίνους ηὔξησεν τὸ βασιλικὸν δώρημα, τοῦ ἁρπάσαι τοῦ πατριαρχικοῦ ἀξιώματος, ὕστερον δὲ, τὰ ὑποσχεθέντα μὴ ἔχοντος ἀποδοῦναι, ἐβλήθη εἰς φυλακήν. ὅθεν καὶ τὸ κοινὸν ἀπέδωκε χρέος καὶ ἀνόμιμον ὄφλημα.

Οἱ ἄνωθεν ὀκτὼ ἐχρημάτισαν πατριάρχαι ἐν τῷ καιρῷ τῆς βασιλείας τοῦ Σουλτὰν Μεχεμὲτ, ὅς τις ζήσας ἔτη ΝΒ ἐτελεύτησε ἐν τῷ καιρῷ τοῦ κάτωθεν πατριάρχου κυρίου Μαξίμου, καὶ μετ᾽ αὐτὸν ἐβασίλευσε ὁ υἱὸς αὐτοῦ Σουλτὰν Μπαγιαζήτης.



UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Θ ΜΑΞΙΜΟΣ ὁ σοφώτατος ποτὲ μέγας ἐκκλησιάρχης, οὗ τὴν ῥῖνα ὁ Σουλτάνος ἔσχισε. αὐτὸς γὰρ τὴν τοῦ ἁγίου συμβόλου ἐξήγησιν ἔγραψε, ἀποδοὺς αὐτὴν τῷ Σουλτάνῳ. αὐτὸς ἔτι τὴν ὑπὸ τοῦ ἀφορισμοῦ πρεσβυτέρισσαν δεδεμένην ὑπὸ τοῦ πατριάρχου κυρίου Γενναδίου, διὰ νηστείας καὶ ἁγίων εὐχῶν, προστάξει τοῦ βασιλέως, διέλυσε. τοῦτο γὰρ ὁ βασιλεὺς, ἵνα τὴν τῶν χριστιανῶν δοκιμάσει πίστιν, ἐπρόσταξεν

Ι ΝΙΦΩΝ Θεσσαλονίκης λογιώτατος, καὶ πάνυ διδακτικώτατος. οὗ ἵνος τὸν καιρὸν ἀπέθανε Συμεὼν ὁ πατριάρχης, καταλιπὼν πολὺν βίον, καὶ συγγενεῖς. τοῦτου αὐτὸς ὁ Νίφων ἑαυτὸν ἀναδεῖξαι βουλόμενος, καὶ τοὺς μάρτυρας περὶ τούτου προστάξας τῷ βασιλεῖ, καὶ εὑρὼν αὐτοὺς ὁ Σουλτάνος μὴ τὴν ἀλήθειαν λέγοντας, αὐτόν τε τὸν πατριάρχην καὶ τοὺς τούτου ψευδομάρτυρας ἐξορίᾳ δεινῇ καθυπέβαλεν, καὶ τοῦ θρόνου δηλαδὴ ὁ Σουλτὰν Μπαγιαζήτης ἐξώρισεν, καὶ πάλιν τὸν ΔΙΟΝΥΣΙΟΝ ἀνεκαλέσατο. ὅστις προσμείνας ἐν τῷ πατριαρχείῳ ἔτη Β καὶ μῆνας ς, πάλιν παρῃτήσατο.

ΙΑ ΜΑΞΙΜΟΣ ὁ Σερρῶν, προσμείνας ἔτη ς, καὶ διὰ τὴν αὐτοῦ κακὴν τοῦ ὀνόματος φήμην ἐξωρίσθη, καὶ ἀνεκλήθη δεύτερον ὁ κῦρος ΝΙΦΩΝ. καὶ πατριαρχεύσας ἔτος Α, πάλιν ἐξωρίσθη.

ΙΒ ΙΩΑΚΕΙΜ ὁ Δράμας, ἀνὴρ ἐνάρετος, ὅστις ὑπὸ τοῦ Σουλτάνου ἐξώσθη, διὰ τὸ προστάξαι αὐτὸν τὴν τοῦ Χρυσοκεράμου ἐκκλησίαν στεγάσασθαι.

ΙΓ ΠΑΧΩΜΙΟΣ Ζυχνῶν, ὃς μετὰ χρόνον ἕνα τῆς αὐτοῦ πατριαρχίας ἔδωκε τὸ τέλος ὁ Σουλτὰν Μπαγιαζήτης, καὶ ὕστερον ἐξωρίσθη παρὰ τοῦ Σουλτὰν Σελήμ, καὶ ἀνεκλήθη δεύτερον ὁ ΙΩΑΚΕΙΜ.

ΙΔ ΘΕΟΛΗΠΤΟΣ Ἰωαννίνων, ζήσας ἔτη Β καὶ μῆνας ς ἀπέθανε,

πέθανε, διὰ πολλῶν καὶ μεγάλων σκανδάλων, τῷ καιρῷ τοῦ σουλτὰν σουλειμάνη.

ΙΕ ΙΕΡΕΜΙΑΣ ὁ Σοφίας, ἀγαθὸς ἀνήρ, ὅς τις χάριν τῆς τοῦ ἁγίου τάφου προσκυνήσεως πορευθείς, οἱ κληρικοὶ τῇ συνήθει αὐτῶν κακίᾳ χρώμενοι, προσθέντες πεντακοσίους χρυσίνους τοῦ βασιλικοῦ χαρατζίου, ἔξωσαν αὐτόν, καὶ ἀνεβίβασαν

ΙϚ ΙΩΑΝΝΗΚΙΟΝ Σωζοπόλεως, ὃν οἱ ἁγιώτατοι τρεῖς πατριάρχαι μετὰ καὶ αὐτοῦ τοῦ κυροῦ Ἱερεμίου, λειτουργήσαντες ἐν τῇ τοῦ ἁγίου τάφου ἐκκλησίᾳ, ἐκαθῆραν, καὶ ἀναθεμάτισαν αὐτόν τε ὡς ἐπιβάτην, καὶ παρανόμως, καὶ τοὺς συνεγείραντας καὶ ὁμογνωμήσαντας αὐτῷ καὶ κοινωνήσαντας. ὕστερον δ' αὖθις λαὸς ἐξοστράκισαν τοῦτον, καὶ πάλιν ὁ κῦρος ΙΕΡΕΜΙΑΣ τὸν αὐτοῦ θρόνον κανονικῶς ἀπέλαβεν· τότε ἐλύτρωσε καὶ τὰς τῶν χριστιανῶν ἐκκλησίας, τὰς ἐν Κωνσταντινουπόλει. δείξας ἐμμαρτύρως. ὡς ἡ πόλις οὐ βίᾳ ἀλλ' εἰρηνικῶς παρεδόθη. οὗτος καὶ τὸ τοῦ σταυρονικήτα μοναστήριον, τῷ ἐν τῷ Ἄθωνος ὄρει εὑρισκομένῳ ἀνεκαίνησεν. κακεῖσε παρετήσας, καὶ μεγαλοσχημήσας ἐτελεύτησεν.

ΙΖ ΔΙΟΝΥΣΙΟΣ ὁ Νικομηδείας, εἰς οὗ τὸν καιρὸν οἱ ἐκ τῆς Ἄγαρ φθονήσαντες κατεβίβασαν ἐκ τῆς πατριαρχικῆς ἐκκλησίας τῆς Παμμακαρίστου, τὸ σημεῖον τοῦ σταυροῦ. οὗτος πατριαρχεύσας εἰρηνικῶς, ἀπέθανε ἐν Κυρίῳ.

ΙΗ ΙΟΑΣΑΦ ὁ Ἀδριανουπόλεως, ὅς τις διὰ τὸ οἰκοδομήσας δύο τῶν παλατίων, ἐν τῷ πατριαρχείῳ ἐκάλουν ὑπερήφανον. καὶ καθῄραντες ἐξοστράκισαν τοῦ πατριαρχικοῦ ἀξιώματος.

ΙΘ ΜΗΤΡΟΦΑΝΗΣ ὁ Καισαρείας καὶ Καππαδοκίας, οὗ τὸν καιρὸν ἐτελεύτησε ὁ σουλτὰν σουλειμάνης, καὶ ἐβασίλευσε ὁ υἱὸς αὐτοῦ σουλτὰν σελήμης, πατριαρχεύσας ἔτη θ πα-

παραιτήσαιτο συνέσει τοῦ Καντακουζηνοῦ.

Κ ΙΕΡΕΜΙΑΣ ὁ Λαρίσσης, ποιήσας ἔτη Ι ἐξεβλήθη καὶ ἀνεκλήθη πάλιν ὁ ΜΗΤΡΟΦΑΝΗΣ, καὶ μετὰ μῆνας Θ ἐτελεύτησε, καὶ πάλιν ἀντεισήχθη ὁ Ἱερεμίας.

ΚΑ ΠΑΧΩΜΙΟΣ Λέσβιος, ὁ καὶ μπατίσας, ἐπιβατικῶς ἐξωρίσας τὸν κῦρον Ἱερεμίαν εἰς Ῥόδον, ἐπατριάρχευσε ὃν οἱ ἁγιότατοι πατριάρχαι, Ἀλεξανδρείας κῦρος Σίλβεστρος, καὶ Ἀντιοχείας κῦρος Ἰωακείμ, συνοδικῶς καθήραντες, καὶ ἀναθεματίσαντες, τοῦ θρόνου κακῶς ἐξοστράκισαν.

ΚΒ ΘΕΟΛΗΠΤΟΣ ὁ Φιλιππουπόλεως, δυναστικῶς ἐπέβη τοῦ θρόνου ὅνπερ ὁ ἐν ἱεροδιακόνοις σοφώτατος κῦρος Νικηφόρος, καὶ μέγας πρωτοσύγγελλος διώξας, πάλιν τρίτον ὁ κῦρος ΙΕΡΕΜΙΑΣ ἀνεκλήθη, καὶ καλῶς ποιμάνας ἀνεπαύσατο ἐν Κυρίῳ.

ΚΓ ΜΑΤΘΑΙΟΣ Ἰωαννήνων, ποιήσας ἡμέρας ΙΖ, καὶ παραιτησάμενος ἀπῆλθε εἰς τῷ ἁγιονύμῳ ὄρει τοῦ Ἄθωνος.

ΚΔ ΓΑΒΡΙΗΛ ὁ Θεσσαλονίκης, θεοσεβὴς καὶ ἐνάρετος, πατριαρχεύσας μῆνας Ε ἐτελεύτησε.

ΚΕ ΘΕΟΦΑΝΗΣ ὁ Ἀθηνῶν, ποιήσας μῆνας Ζ, ἐτελεύτησε.

Κϛ ΜΕΛΕΤΙΟΣ ὁ Ἀλεξανδρείας, ὁ Πηγᾶς, ὁ ἀπὸ τῆς θεοσώστου νήσου Κρήτης ἐπιτηρητὴς τοῦ θρόνου γενόμενος, μετὰ χρόνον ἕνα ἀνεκλήθη δεύτερον ὁ κῦρος ΜΑΤΘΑΙΟΣ, καὶ πατριαρχεύσας ἔτη Δ ἐξεβλήθη καὶ ἀπελθὼν ἐν τῷ ἁγιονύμῳ ὄρει τοῦ Ἄθωνος καὶ μεγαλοσχημήσας ἐκεῖσε προσέμεινε.

ΚΖ ΝΕΟΦΥΤΟΣ ὁ Ἀθηνῶν, πατριαρχεύσας χρόνον Α, ἐξωρίσθη παρὰ τοῦ σουλτὰν Μεχεμὲτ, καὶ ἀνεκλήθη πάλιν

λὶν ὁ κῦρος ΜΑΤΘΑΙΟΣ τὸ τρίτον, καὶ ζήσας ἡμέρας
* ἐτελεύτησε.
ΚΗ ΡΑΦΑΗΛ ὁ Μεθύμνης, εἰς οὗ τὸν καιρὸν ἐτελεύτησεν ὁ Σουλ-
τὰν Μεχεμέτης, καὶ ἐβασίλευσε ὁ υἱὸς αὐτοῦ Σουλτὰν
Ἀχμέτης, τῷ τῆς σωτηρίας ἔτει ΑΧΕ, ποιήσας ἔτη Ε
καὶ μῆνας ς. τότε ἦλθεν καὶ ἐκ τοῦ ἁγίου ὄρους τοῦ Ἄθω-
νος ὁ κῦρος ΝΕΟΦΥΤΟΣ, καὶ πάλιν τὸν θρόνον ἀπέ-
λαβε, μείνας ἐν αὐτῷ ἔτη Ε, εἶτα εἰς Ῥόδον παρὰ τοῦ
Σουλτάνου ἐξωρίσθη, καὶ ἐκάθισε ἐπιτροπικῶς ὁ Ἀλεξανδρεί-
ας κῦρος ΚΥΡΙΛΛΟΣ ὁ Λουκάρης, ὁ Κρής, ἕως οὗ ἡ
σύνοδος ἐχειροτόνησε νόμιμον πατριάρχην
ΚΘ ΤΙΜΟΘΕΟΝ τῶν παλαιῶν Πατρῶν, ὅστις πατριαρχεύσας
ἔτη Η, καὶ ἐν τῇ ἀσθενείᾳ αὐτοῦ, διὰ θανατηφόρου πότου
ὡς λέγουσι, τὸ κοινὸν χρέος παρέδωκεν. οὗ τινος τὸν καιρὸν
Σουλτὰν Ἀχμέτης ἐτελεύτησε, καὶ ἐβασίλευσε ὁ ἀδελφὸς
αὐτοῦ Σουλτὰν Μουσταφάς.
Λ ΚΥΡΙΛΛΟΣ ὁ σοφώτατος Ἀλεξανδρείας, ὁ Λουκάρης, ἀ-
νεβιβάσθη παρὰ τῆς συνόδου εἰς τὸν οἰκουμενικὸν θρόνον κατὰ τὸ
ΑΧΚΑ ἔτος τὸ σωτήριον, Νοεμβρίῳ Ε καὶ μετὰ χρόνον
Α ἐξωρίσθη εἰς Ῥόδον παρὰ τοῦ Σουλτὰν Ὀσμάνη, καὶ ἀντ'
ΛΑ αὐτοῦ εἰσήχθη ὁ μονόφθαλμος Ἀμασείας ΓΡΗΓΟΡΙΟΣ,
καὶ ποιήσας μῆνας Γ ἐξωρίσθη, καὶ γέγονε ὁ Ἀδριανουπο-
ΛΒ λεως κῦρος ΑΝΘΥΜΟΣ. καὶ μετ' ὀλίγον καὶ αὐτὸς ἐξώ-
σθη τοῦ πατριαρχείου, καὶ εἰς τὸ τοῦ Ἄθωνος ἁγιονύμου
ὄρει ἐν τῇ τῆς ἁγίας Λαύρας βασιλικωτάτῃ μονῇ ἐπέ-
μενε. καὶ πάλιν ἀνεκλήθη δεύτερον ὁ κῦρος ΚΥΡΙΛΛΟΣ,
καὶ κυβερνήσας ἔτη Η εἰρηνικῶς, πάλιν ὑπὸ τοῦ Σουλτὰν
Μουρὰτ ἐξωρίσθη εἰς Τένεδον. καὶ ἀντ' αὐτοῦ εἰσήχθη ὁ Θε-
ΛΓ σσαλονίκης κῦρος ΑΘΑΝΑΣΙΟΣ ὁ Πατελλάρος ὁ Κρής.
καὶ μετ' ὀλίγας ἐξεβλήθη. καὶ πάλιν τρίτον ἀνεκλήθη ὁ κῦ-
ρος ΚΥΡΙΛΛΟΣ, καὶ κυβερνήσας ἔτος Α. ὑπὸ συνερ-
γίας

γίας τοῦ κακοῦ ἐκ Βεῤῥοίας Κυρίλλου, πάλιν ἐξωρίσθη εἰς
Ῥόδον. μετὰ ταῦτα πατριαρχεύσας νομίμως καὶ κανονικῶς
ΛΔ ὁ Ἡρακλείας κῦρος ΝΕΟΦΥΤΟΣ, ὁ τοῦ κυροῦ Κυ-
ρίλλου μαθητὴς καὶ υἱόθετος, ἐλυτρώσατο τῆς Ῥόδου ἐξο-
ρίας τὸν πατέρα, διδάσκαλον καὶ εὐεργέτην αὐτοῦ, λέγω
δὴ τὸν σοφώτατον Κύριλλον. καὶ φθάσας εἰς βασιλεύουσαν,
δέδωκεν ἑκουσίως τὴν παραίτησιν αὐτοῦ τῷ κῦρῳ Νεοφύτῳ.
ὃς μὴ δυνάμενος κυβερνῆσαι εἰς τὰς τοῦ πατριαρχείου
συγχύσεις, καὶ μεγάλας ταραχὰς ὑποφέρειν, διὰ τὸ
εἶναι αὐτὸν πρᾶον καὶ ἡσυχικώτατον, παρῃτήσατο· καὶ
πάλιν ἀνεκλήθη πέμπτον ὁ κῦρος ΚΥΡΙΛΛΟΣ, καὶ
πατριαρχεύσας ἔτος Α καὶ μῆνας Ε, διὰ συνεργίας
τοῦ ἐκ Βεῤῥοίας Κυρίλλου, καὶ συνδρομῇ Μεθημαίων τι-
νῶν, ἐθανατώθη παρὰ τῆς βασιλείας ἐπιτροπεύοντος Μου-
σοῦ μπασιᾶ (ὅτι ὁ βασιλεὺς Σουλτὰν Μουράτης τότε τὴν
Βαβυλῶνα αὐτοπροσώπως ἐπολέμει) καὶ οὕτως ἐπα-
ΛΕ τριάρχευσεν αὐτὸς ὁ παμμίαρος πατροφονεὺς ἐκ Βεῤ-
ῥοίας ἔτος Α καὶ μῆνας Ζ. ἀλλὰ τὸ τοῦ θεοῦ ἔκδικον ὄμμα
οὐκ εἴασε αὐτὸν ἀτιμώρητον. ἀλλ' ἐμπνεύσει θείᾳ παρο-
τρύνας τοὺς τῶν ἀρχιερέων πρωτεύοντας, ἀναφορὰν τῷ
βασιλεῖ Σουλτὰν Μουρὰτ, ἐπαναστρεφομένῳ μετὰ θριάμ-
βων καὶ τροπαίων τῆς Βαβυλωνιακῆς νίκης, δέδωκε κατὰ τῆς
ἀδικίας, καὶ ἀκορέστου ἁρπαγῆς αὐτοῦ. ὅτε αὐτὸν εἰς
Ἀφρικὴν τῆς βαρβαρίας ἐξώρισε. ὅθεν καὶ τὴν δικαί-
αν ἀμοιβὴν, διὰ πικροῦ πρεσήκοντος αὐτῷ θανάτου,
παρὰ θεοῦ ἀπέλαβεν· καὶ τότε συναθροισθέντες οἵ τε ἀρ-
χιερεῖς, κληρικοὶ, καὶ πᾶς τῶν χριστιανῶν ὁ λαὸς, μετὰ
βίας ἔπεισαν τὸν Ἀδριανουπόλεως κῦριον ΠΑΡ-
Λϛ ΘΕΝΙΟΝ (τὸν πρότερον χρηματίσαντα καὶ Ἀγχιά-
λου) καὶ ἐδέχθη τὸ πατριαρχικὸν ἀξίωμα τῷ ΑΧΛΘ τῆς
κοινῆς σωτηρίας ἔτει, Ἰουλίῳ Δ.

Τέλος τῶν ἐν τῷ Βυζαντίῳ καὶ βασιλευούσῃ ἀρχιερατευσάντων.